ἢ ἐν μελέτῃ νυκτερινῇ · ἢ ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ' ἀνθρώποις · ἐπὶ νυσταγμάτων ἐπὶ
κοίτης · τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων · ἐν εἴδεσιν φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν ·
ἀποστρέψαι ἄνθρωπον ἐξ ἀδικίας · τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐρρύσατο · ἐφείσατο δὲ τῆς
ψυχῆς αὐτοῦ ἀπὸ θανάτου · καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ · πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐν μα-
λακίᾳ ἐπὶ κοίτης · καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησεν · πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δυνήσεται
προσδέξασθαι · καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμήσει · ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες · καὶ
ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά · ἤγγισεν δὲ εἰς θάνατον αὐτοῦ ἡ ψυχή · ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ ·
ἐὰν ὦσιν χίλιοι ἄγγελοι θανατηφόροι · εἷς ἐξ αὐτῶν, οὐ μὴ τρώσῃ αὐτόν · ἐὰν νοήσῃ τῇ καρ-
δίᾳ · ἐπιστραφῆναι ἐπὶ κύριον · ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν · τὴν δὲ ἄνοιαν αὐτοῦ
δείξει · ἀνθέξεται τοῦ μὴ πεσεῖν αὐτὸν εἰς θάνατον · ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥσπερ ἀλοι-
φὴν ἐπὶ τοίχου · τὰ δὲ ὀστᾶ αὐτοῦ, ἐμπλήσει μυελοῦ · ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας · ὥσ-
περ νηπίου · ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις · εὐξάμενος δὲ αὐτοῦ πρὸς κύ-
ριον · δεκτὰ αὐτῷ ἔσται · εἰσελεύσεται δὲ προσώπῳ καθαρῷ σὺν ἐξηγορίᾳ · ἀποδώσει δὲ ἀνθρώποις
δικαιοσύνην · εἶτα τότε ἀπομέμψεται ἄνθρωπος · αὐτὸς ἑαυτῷ λέγων οἷα συνετέλουν · εἶτα τότε
ἀπομέμψεται ἄνθρωπος · αὐτὸς ἑαυτῷ λέγων οἷα συνετέλουν · καὶ οὐκ ἄξια ἤτασέν με ὧν ἥμαρτον ·
σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν · καὶ ἡ ζωή μου φῶς ὄψεται · ἰδοὺ ταῦτα πάντα ἐργᾶται
ὁ ἰσχυρός · ὁδοὺς τρεῖς μετὰ ἀνδρός · ἀλλ' ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου · ἵνα ἡ ζωή μου
ἐν φωτὶ αἰνῇ αὐτόν · ἐνωτίζου ἰὼβ καὶ ἄκουέ μου · κώφευσον καὶ ἐγώ εἰμι λαλήσω · εἰ εἰσὶν
λόγοι ἀποκρίθητί μοι · λάλησον · θέλω γὰρ δικαιωθῆναί σε · εἰ δὲ μὴ σὺ ἄκουσόν μου · κώ-
φευσον καὶ διδάξω σε σοφίαν · ὑπολαβὼν δὲ ἐλιοὺς λέγει · ἀκούσατέ μου σοφοί · ἐπι-
στάμενοι · ἐνωτίσασθε τὸ καλόν · ὅτι οὖς λόγους δοκιμάζει · καὶ λάρυγξ γεύεται βρῶσιν · κρί-
σιν ἑλώμεθα ἑαυτοῖς · γνῶμεν ἀνὰ μέσον ἑαυτῶν ὅ τι καλόν · ὅτι εἴρηκεν ἰὼβ δίκαιός εἰμι · ὁ
κύριος ἀπήλλαξέν μου τὸ κρίμα · ἐψεύσατο δὲ τῷ κρίματί μου · βίαιον τὸ βέλος μου · ἄνευ
ἀδικίας · τίς ἀνὴρ ὥσπερ ἰὼβ · πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ · οὐχ ἁμαρτὼν οὐδὲ ἀσε-
βήσας · οὐδὲ ὁδοῦ κοινωνήσας μετὰ ποιούντων τὰ ἄνομα · τοῦ πορευθῆναι μετὰ ἀσεβῶν ·
μὴ γὰρ εἴπῃς ὅτι οὐκ ἔσται ἐπισκοπὴ ἀνδρός · καὶ ἐπισκοπὴ αὐτοῦ παρὰ κυρίου · διὸ συνετοὶ
καρδίας ἀκούσατέ μου · μή μοι εἴη ἔναντι κυρίου ἀσεβῆσαι · καὶ ἔναντι παντοκράτορος
ταράξαι τὸ δίκαιον · ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν · καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρή-
σει αὐτόν · οἴει δὲ τὸν κύριον ἄτοπα ποιήσειν · ἢ ὁ παντοκράτωρ ταράξει κρίσιν · ὃς ἐποίησε τὴν
γῆν · τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ' οὐρανὸν καὶ τὰ ἐνόντα πάντα · εἰ γὰρ βούλοιτο συνέχειν καὶ
τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν · τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν · πᾶς γὰρ βροτὸς εἰς γῆν ἀπε-
λεύσεται ὅθεν καὶ ἐπλάσθη · εἰ δὲ μὴ νουθετῇ · ἄκουε ταῦτα · ἐνωτίζου φωνὴν ῥημάτων · ἴδε
δὲ σὺ τὸν μισοῦντα ἄνομα καὶ ὀλλύντα τοὺς πονηρούς · ὄντα αἰώνιον δίκαιον · ἀσεβὴς ὁ λέγων
βασιλεῖ παρανομεῖς · ἀσεβέστατος τοῖς ἄρχουσιν · ὃς οὐκ ἐπῃσχύνθη πρόσωπον ἐντίμου ·
οὐδὲ οἶδεν τιμὴν θέσθαι ἁδροῖς · θαυμασθῆναι πρόσωπα αὐτῶν · κενὰ δὲ αὐτοῖς ἀποβήσεται ·
τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός · ἐχρήσαντο γὰρ παρανόμως · ἐκκλινομένων ἀδυνάτων · αὐτὸς
γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων · λέληθεν δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν · οὐδὲ ἔστι τόπος τοῦ
κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα · ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔτι · ὁ γὰρ κύριος πάντα ἐφορᾷ ·
ὁ καταλαμβάνων ἀνεξιχνίαστα · ἔνδοξά τε καὶ ἐξαίσια ὧν οὐκ ἔστιν ἀριθμός · ὁ γνωρί-
ζων αὐτῶν τὰ ἔργα · καὶ στρέψει νύκτα καὶ ταπεινωθήσονται · ἔσβεσεν δὲ ἀσεβεῖς · ὁρατοὶ δὲ ἐναν-
τίον αὐτοῦ · ὅτι ἐξέκλιναν ἐκ νόμου θεοῦ · δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν ·
τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πενήτων · καὶ κραυγὴν πτωχῶν εἰσακούσεται · καὶ αὐτὸς